ναντήσειεν, ὃ κατὰ βάθος αὐτῷ ἐμπεριέχοιτο· οἷον τῇ ἡ γραμμὴ οὐκ ἔστιν ἄνθρωπος, αἱ οὐδὲ ζῶον, οὐδ᾽ ἔμψυχον, κτ. τῇ δὲ ὁ λίθος οὐκ ἔστιν ἄνθρωπος, οὐχὶ καὶ ἡ οὐδὲ σῶμα.

§. φιβ΄. ϛ΄. Τῇ τὸ Εἶδος ἀποφασκούσῃ, συνέπονται ὅσαι τοῦ αὐτοῦ, καὶ τὴν Διαφορὰν, καὶ τὰ Ἴδια, πλὴν τοῦ Β΄. ἀποφάσκουσιν· οἷον τῇ τὸν ἄνθρωπον, ἀκολουθεῖ καὶ ἡ τὸ λογικὸν, καὶ ἡ τὸ ἰατρὸν εἶναι, καὶ ἡ τὸ λαλεῖν ποτὲ, καὶ ἡ τὴν εἰς τὸ ποτὲ γελᾷν ἔχειν δύναμιν. Καὶ τῇ τὸν ὁρισμὸν δὲ ὡσαύτως.

§. φιγ΄. Καὶ ἐκ τῆς μάχης δέ. Α΄. τῇ θέσει τῆς ἐναντίας ἐπὶ ὕλης ἀναγκαίας, καὶ ἀδυνάτου, παρακολουθεῖν πέφυκε τῆς ἐναντίας ἡ ἄρσις, καὶ ἀνάπαλιν, παρὰ τὸ μὴ συναληθεύειν ταύτῃ τὰς ἐναντίας, μηδὲ συμψεύδεσθαι. (§. υμα΄.). Ἐπὶ δὲ τῶν ἐνδεχομένων, ἄρσις ἄρσει παρέπεται, διὰ τὸ συμψεύδεσθαι.

§. φιδ΄. Β΄. Ἐπὶ ὕλης ἀναγκαίας τε καὶ ἀδυνάτου τῇ θέσει τῆς ὑπεναντίας, ἡ τῆς ἑτέρας ἄρσις ἀκόλουθος (§. υμβ΄.), ἢ ἀνάπαλιν, ἐπὶ δὲ τῶν ἐνδεχομένων ἡ θέσις τῇ θέσει· ὅτι συναληθεύουσι.

§. φιε΄. Γ΄. Ἐφ᾽ οἱασοῦν ὕλης τῆς ἑτέρας τῶν ἀντιφασκουσῶν ἡ θέσις, τὴν ἄρσιν τῆς ἑτέρας ἀεὶ συνεφέλκεται, καὶ ἀνάπαλιν. (§. υμ.).

§. φιϛ΄. Δ΄. Τῶν ὑπαλλήλων τὴν ἀκολουθίαν, οὐκ ἐκ τῆς μάχης (οὐδὲ γὰρ κυρίως μαχόμεναι εἰσίν.) ἀλλ᾽ ἐκ τοῦ Πλάτους μᾶλλον (§. φε΄. κζ΄.) ληπτέον.

§. φιζ΄. Ε΄. Τῇ ἀορίστῳ Α΄. ἡ ὡρισμένη Ο ἕπεται. Καὶ τῇ ἀορίστῳ Ε, ἡ ὡρισμένη Ι. (§. υμθ΄.). Τῇ δὲ ὡρισμένῃ Α, ἡ ἀόριστος Ο, καὶ τῇ Ε τῶν ὡρισμένων, ἡ Ι τῶν ἀορίστων.

§. φιη΄. ϛ΄. Ἄνευ δὲ προσδιορισμῶν, τῶν θετικῶν τε καὶ ὡρισμένων (ἃς ἁπλᾶς καλοῦσι), καὶ τῶν ἀορίστων (ἃς ἐκ μεταθέσεως.) καὶ τῶν στερητικῶν πρὸς ἀλλήλας ἀμοιβαδὸν παραβαλλομένων, τῇ μὲν ἁπλῶς καταφασκούσῃ, ἥτε ἐκ μεταθέσεως ἀποφάσκουσα ἕπεται, καὶ ἡ στερητικῶς· οἷον τῇ ἐστὶ δίκαιον, ἡ οὐκ ἔστιν οὐ δίκαιον, καὶ ἡ οὐκ ἔστιν ἄδικον· τῇ δὲ ἀορίστως ἀποφασκούσῃ, ἕπεται μὲν ἡ στερητικῶς ἀποφάσκουσα, οὐκέτι δὲ καὶ ἡ θετικῶς τε καὶ ὡρισμένως καταφάσκουσα. Ὅ,τι γὰρ οὐκ ἔστιν οὐ δίκαιον, τοῦτο οὐκ ἔστιν ἄδικον· αὐτὸ μέντοι οὐχ ἅμα καὶ δίκαιον. Ἐπ᾽ ἔλαττον γὰρ τὸ δίκαιον εἶναι, τοῦ μὴ



μὴ εἶναι μὴ δίκαιον· καὶ τοῦτο τοῦ μὴ εἶναι ἄδικον. Διὸ καὶ τὸ δίκαιον ὂν οὐκ ἔστιν οὐ δίκαιον, καὶ οὐκ ἔστιν ἄδικον. Εἴ τι δὲ οὐκ ἔστιν ἄδικον, οὐ διὰ τοῦτο οὐκ ἔστιν οὐ δίκαιον· λίθος γὰρ, ἢ παῖς, ἢ ὁ τὰ μηδὲν εἰς δικαιοσύνην τείνοντα πραγματευόμενος, οὐκ ἔστιν ἄδικος· τῇ γὰρ ἀπουσίᾳ τῆς δυνάμεως, ἢ τῆς ἕξεως καὶ ἐνεργείας ἐπὶ τῶν μὴ πεφυκότων (§. ρμε΄) οὔτε τὸ δίκαιον ἐπαληθεῦον ἐστὶν, οὔτε τὸ ἄδικον. Οὐμὴν δ᾽ οὐκ ἔστιν οὐ δίκαιος ὁ τοιοῦτος· τῷ γὰρ ὄντι ἐστὶν οὐ δίκαιος.

§. φιθ΄. Ζ΄. Τῇ στερητικῶς καταφασκούσῃ ἕπεται καὶ ἡ ἐκ μεταθέσεως καταφάσκουσα, καὶ ἡ ἁπλῆ ἀποφάσκουσα. Οἷον τῇ ἐστὶν ἄδικον, ἡ ἐστὶν οὐ δίκαιον, καὶ ἡ οὐκ ἔστι δίκαιον· Τῇ ἀορίστως δὲ καταφασκούσῃ, ἕπεται μὲν ἡ ἁπλῆ ἀποφάσκουσα, οὐχὶ δὲ καὶ ἡ στερητικῶς καταφάσκουσα. Οἷον τῇ ἐστὶν οὐ δίκαιον, ἀκόλουθος μὲν ἡ οὐκ ἔστι δίκαιον, ἀνακόλουθος δὲ ἡ ἐστὶν ἄδικον· τὸ γὰρ ἄδικον εἶναι ἐπὶ τῶν πρὸς δικαιοσύνην πεφυκότων μόνον λέγεται, τὸ δὲ εἶναι μὴ δίκαιον, καὶ ἐπὶ τῶν δεκτικῶν ἐπίσης, καὶ ἀνεπιδέκτων· τὸ δὲ μὴ εἶναι δίκαιον ὑπερεκτείνεται ἔτι καὶ ἐπὶ τὰ μηδόλως ὄντα ἐπιφωνούμενον. Ἔνθεν τοι τὸ μὲν ἐπ᾽ ἔλαττον ἐστὶ, τὸ δ᾽ ἐπὶ πλέον, τὸ δὲ μέσον. Ἀεὶ δὲ τῷ ἐπ᾽ ἔλαττον τὸ ἐπὶ πλέον ἕπεσθαι θέλει (§. ρδ΄.), ἀλλ᾽ οὐκ ἀνάπαλιν.

§. φκ΄. Η΄. Ἐπὶ δὲ τῶν μετὰ τρόπου, αἱ τοῦ δυνατοῦ καὶ ἐνδεχομένου ἀποφάνσεις (ἰσοδυνάμων ὄντων (§. υζ΄.) ἀλλήλαις ἑπόμεναι εἰσὶ, καταφάσει μὲν κατάφασις, ἀποφάσει δ᾽ ἀπόφασις, αἱ ἁπλαῖ ταῖς ἁπλαῖς, καὶ αἱ ἐκ μεταθέσεως ταῖς ἐκ μεταθέσεως· Καὶ γάρ τοι συναληθεύουσιν. (§. υιβ΄.). Ὁμοίως δὲ καὶ καταφάσει ἀπόφασις (§. υνγ΄.), καὶ ἀνάπαλιν.

§. φκα΄. Θ΄. Τῇ κατὰ τὸ ἀναγκαῖον ἁπλῇ καταφάσει, αἵτε κατὰ τὸ δυνατὸν καὶ ἐνδεχόμενον ἐκ μεταθέσεως ἀποφάσεις ἕπονται, καὶ ἡ κατὰ τὸ ἀδύνατον ἐκ μεταθέσεως κατάφασις.

§. φκβ΄. Ι΄. Τῇ κατὰ τὸ ἀναγκαῖον ἐκ μεταθέσεως καταφάσει, αἵτε κατὰ τὸ δυνατὸν καὶ ἐνδεχόμενον ἁπλαῖ ἀποφάσεις, καὶ ἡ κατὰ τὸ ἀδύνατον ἁπλῆ κατάφασις.